SUB | NIEDERSÄCHSISCHE STAATS- UND UNIVERSITÄTSBIBLIOTHEK GÖTTINGEN

## Werk

**Titel:** Maximu tu Marguniu Episcopu Kuth¯er¯on Hymnoi Anakreonteioi

**Autor:** Margunius, Maximus

**Verlag:** Praetorius

**Ort:** Augustae

**Jahr:** 1601

**Kollektion:** DigiWunschbuch; Varia

**Werk Id:** PPN660732017

**PURL:** http://resolver.sub.uni-goettingen.de/purl?PID=PPN660732017|LOG_0009

**OPAC:** http://opac.sub.uni-goettingen.de/DB=1/PPN?PPN=660732017

## Terms and Conditions

The Goettingen State and University Library provides access to digitized documents strictly for noncommercial educational, research and private purposes and makes no warranty with regard to their use for other purposes. Some of our collections are protected by copyright. Publication and/or broadcast in any form (including electronic) requires prior written permission from the Goettingen State- and University Library.
Each copy of any part of this document must contain there Terms and Conditions. With the usage of the library's online system to access or download a digitized document you accept the Terms and Conditions.
Reproductions of material on the web site may not be made for or donated to other repositories, nor may be further reproduced without written permission from the Goettingen State- and University Library.

For reproduction requests and permissions, please contact us. If citing materials, please give proper attribution of the source.

## Contact

Niedersächsische Staats- und Universitätsbibliothek Göttingen
Georg-August-Universität Göttingen
Platz der Göttinger Sieben 1
37073 Göttingen
Germany
Email: gdz@sub.uni-goettingen.de

## Τοῦ αὐτοῦ πολεμουμένου ἐπὶ ψυχικοῖς πάθεσιν εὐκλήριος πρὸς θεόν, δεύτερος.

Πάλιν κελαινεφὴς, φεῦ,
ὄρφνη πικροῦ τυράννου
ἰνδάλμασιν μ' ἀνάγνοις
θολοῖ τε, καὶ τιταίνει
τόξα σφοδρῶν βελέμνων,
ὅπως μόρον γ' ἐπάξῃ
ψυχῇ ἐμῇ ταπεινῇ,
ψυχῇ θεοῖο μοίρᾳ.
θλίβει δέ μου κραταιῶς
καὶ σπλάγχνα καὶ τὸ ἦτορ.
σὺ δ' ὁ σκότος σκεδάζων
σελασφόροις βολίσιν,
ἄναξ πατρὸς μεγίστου
φῶς ἄφθιτον, κ' ἄημα
ἀμφοῖν ἀεὶ ὁμοῖον,
μονὰς, τριάς τε δ' αὖθις

## HYMNVS II.

*Deo ſupplicans, cum auctor animi perturbationibus infeſtaretur.*

*NOX horrida, ecce, rurſus*
*Negotium faceſſit*
*Mihi nigricansq́; nimbus:*
*Duriſſimi Tyranni*
*Obiecta viſa ab aſtu*
*Impura me inquietant:*
*In meq́; tendit arcum,*
*Acuta tela vibrans,*
*Animæ vt parare mortem*
*Poſſit meæ, Dei quæ*
*Spiraculum eſt ab ore,*
*Superæq́; portio auræ.*
*Valdè ille viſcera atque*
*Cor torquet, angit, vrit.*
*At tu, ſerenitate*
*Lucis fugans tenebras,*
*Rex, Patre nate ſummo,*
*Æterna lux, vtriſque*
*Deitate parq́ue Flatus,*
*Monas ſimul Triasq́ue,*

ὑμνουμένη ἀφράστως
θεὸς ξένως πέλων εἷς,
ὁ λάμψας ἐν σκοτεινῇ
καταστάσει μένουσι·
θραῦσον βέλεμνα πικρά·
λῦσον νέφος σκοτῶδες·
λάμψον δέ μοι τεὸν φῶς,
τούτου με ἐκσαῶζον.
στρέψον δ' ἐπ' αὐτὸν ὅπλα,
σῆς πανσθενοῦς φαρέτρης,
βάλλων ἐ σοῖς ὀϊστοῖς
τομωτέροις μαχαίρας·
καὶ πέμπε ἐς ζοφώδη
χῶρον, τὸν ἔσχεν αἰνῇ
παλαιτάτῃ ἀνοίῃ.
νοήμασιν δὲ θείοις
αὐγαῖς τε σῶν ἐρώτων
ἀναπλήρου ἐμὸν νοῦν
καὶ νύκτα καὶ κατ' ἦμαρ.

*Celebrata ſemper hymnis,*
*Vnus ſimulqúe trinus*
*Deus, modo ſtupendo:*
*Qui lumen in tenebris*
*Sedentibus refulſti:*
*Tu ſpicla acerba frange:*
*Nubem hanc tenebricoſam*
*Tu diſcute atq; pelle:*
*Lumen tuum mihi infer,*
*Malisqúe me aſſere ex his.*
*Conuertéque arma in ipſum*
*Pharetra è tua potente,*
*Feriens eum ſagittis*
*Penetrantibus mage enſe.*
*Detrude eum in tenebras,*
*Quà ſempiternus horror*
*Ipſum recepit olim*
*Væcordia cadentem.*
*Mens noſtra ſed leuetur*
*Alis librata ſurſum:*
*Et ſemper incaleſcat*
*Radijs tuorum amorum,*
*Pijsq; cogitatis,*
*Tam nocte quàm die almâ.*

ἄλγος δέ μευ δολόφρων
ἔμπηξεν ὁ κρυφηδὸν
μεσαιτάτοισιν ἄρθροις.
τήκει δέ με στροφάζον,
ὑπεῖκον οὐ στενῶσαι,
οὐδὲ χρόνων ἑλιγμοῖς,
οὔτ' αὖ λόγων ἐπῳδαῖς,
οὐ καρδίας στεναγμοῖς,
οὐ δακρύων κενῶσαι,
ἰατρὸς ὢν σὺ μοῦνος,
εἰ τοῦτό σοι θελητόν.
(τί γὰρ σοφῇ προνοίῃ
πανδερκὲς ὄμμ' ἐχούσῃ,
ἔργον μένει ἄοπλον,
μᾶλλον δὲ νοῦ κίνημα;
τίς οἶδεν, εἰ φυσώδη
ὄγκον χαλᾷς ἀτάκτου
ὁρμήματος νόσοιο,
ἐχθίσταλον πτερόν τι,
ταχύδρομόν τ' ὄλισθον.

At hunc meum dolorem
Quem in intimas medullas
Furtim vaferriméque
Infixit ille, qui me
Torquet, miserrimaq́s
Liquare tabe tentat:
(Non carmen audit ille,
Non temporum ille lapsu
Mitescit, aut medelâ,
Suspirijs ve cordis,
Non lacrumis profusis:)
Tu vnus meum hunc dolorem,
Si vis, potes mederi.
(Nam quid sacræ Pronœæ
Oculos, per vniuersum hoc
Tensos, queat latere,
Factó ve perpetratum,
Animó ve cogitatum?
Fortasse, fastuosum
Animi vt premas tumorem
Vergentem inordinatè,
Odium & sibi lucrantem,
Ac proximum ruinæ,
Hoc me afficis dolore.

τίς οἶδεν, εἰ κράτος σοὶ
πληροῖς ἐπ' ἀσθενείᾳ; )
εἰ τοῦτό σοι θελητὸν,
παίων καλὸς φανείς μοι,
ψυχᾶς ἐμῆς ἀείραις,
εὐχᾶς ἐμῆς ἀείραις,
ἔργων ἐμῶν ἀείραις,
ὅπως σωθεὶς ὑμνήσω
ἐμέν σε ὄντα πλάστην,
νούσων ἐμῶν ἀκεστὴν
ῥύστην βροτῶν τε προῖκα.

## Τοῦ αὐτοῦ πρὸς τὴν ἑαυτοῦ ψυχὴν παραινετικὸς τρίτος.

Ἕως τίνος γλυκασμοῦ
οὐ γεύσεαι θεοῖο
ψυχὴ ἐμὴ κρατηρος;